A Χο. Πάρες πρὸς τῶν θεῶν αὐτῷ διαρραγῆναι.

Κλ. Τῷ καὶ πεποιθὼς, ἀξιοῖς ἐμοῦ λέγειν ἐναντία;

Αλ. Ὅτι λέγειν οἷός τε κἀγὼ, καὶ καρυκκοποιεῖν.

Κλ. Ἰδοὺ λέγειν. καλῶς γ' ἂν οὖν τι πρᾶγμα προσπεσόν σοι,

B Ὠμοσπάρακτον παραλαβὼν, μεταχειρίσαιο χρηστῶς.

Ἀλλ' οἶσθ' ὅ μοι πεπονθέναι δοκεῖς, ὅπερ τὸ πλῆθος.

Εἴ που δικίδιον εἶπας εὖ, κατὰ ξένου μετοίκου,

Τὴν νύκτα θρυλλῶν, καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ,

Ὕδωρ τε πίνων, κἀπιδεικνὺς, τοὺς φίλους τ' ἀνιῶν,

C Ὤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.

Αλλ. Τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας, ὥστε νυνὶ

Ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;

Κλ. Ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν'; ὅστις εὐθὺς

D Θυννεῖα θερμὰ καταφαγὼν, κᾆτ' ἐπιπιὼν ἀκράτου

Οἴνου χοᾶ, κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς;

Αλλ. Ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν.

*CH. Sine, obsecro, ipsum: ut disrumpatur. CL. tu quânam arte fretus,*
*Audeas mihi contradicere? AG. quia dicendi peritus*
*Sum, & condimenta noui condire optima. CL. tún' peritus*
*Dicendi? pulcrè igitur, si quod negocium inuolutum*
*Tibi incidat, tu acceptum perquàm commodè explicabis.*
*Sed scin' quid accidisse tibi putem? quod imperitis.*
*Si controuersiolam benè dixeras contra inquilinum,*
*Noctem susurrando, & tecum in viis admurmurando:*
*Aquam bibendo: & deferendo & affligendo amicos:*
*Ibi te disertum credebas. ô stulte, quæ hæc fatuitas?*
*AG. Tu verò quidnam fecisti bibendo ciuitatem,*
*Quæ garrulitate tua turbata cogitur tacere?*
*CL. Tún' quenquam hominem opposueris mihi? qui simul ac deuorâro*
*Thynni offam calidam, & vini congium ebibero meraci,*
*Omnes calumniabor in Pylo duces. AG. ego autem*
*Simulac omasum bubulum, & ventrem comedero suillum,*

Σχόλια. Πάρες.] τοῦ Κλέωνος εἰπόντος διαρραγήσομαι, καὶ τοῦ ἀλλαντοπώλου εἰρηκότος οὐ παρήσω, ὁ χορὸς πρὸς τὸ εἰρημένον φησὶν ὅτι πάρες αὐτῷ διαρραγῆναι. Τῷ καὶ πεποιθώς.] τίνι τεθαρρηκὼς ἀξιοῖς φιλονικεῖν ἐμοὶ καὶ διαλέγεσθαι. Ὅτι ἢ λέγειν οἷός τ' ἐγώ.] κἀγὼ δυνατός εἰμι, καὶ ἱκανὸς εἰπεῖν. Καρυκκοποιεῖν.] κοσμεῖν ποικιλίᾳ τινὶ ῥημάτων τὸν λόγον. πλαγίως δὲ τῇ λέξει ὡς μάγειρος ἐχρήσατο. καρυκεύματα γὰρ καὶ ἡδύσματά εἰσι τὰ ἀρτύματα. καὶ καρύκκη, κοιλία ἣν νῦν μονθηλευτὴν καλοῦσιν. Ἰδοὺ λέγειν] ἐγχλευάζει αὐτὸν ὅτι δύναμαι λέγειν λέγοντα. τῇ δὲ τοῦ σχήματος ἐμφάσει, τὸν διασυρμὸν ἔδειξεν. φησὶ γὰρ, ἀφόρητόν ἐστιν εἰ καὶ σὺ ῥήτωρ εἶ. Ὠμοσπάρακτον.] ἀστείως καὶ οὕτως ὡς πρὸς μάγειρον. ὁ δὲ νοῦς αὐτῷ τοῦτο βούλεται. εἰ πρᾶγμά φησι σκολιὸν προσπέσοι, οὐκ ἄν ποτε κατορθώσεις. οὐδὲ διανύσεις. ὠμοσπάρακτον δὲ, δυνάμενον σπαράξαι τὸν λέγοντα. ἄλλως. ἀδιάθετον καταλαβὼν καὶ ὠμόν. ὡς πρὸς μάγειρον δὲ τὸ ὠμοσπάρακτον. ἢ τὸ νεοσπάρακτον. χρηστῶς δὲ, ἀντὶ τοῦ καλῶς. ὠφελίμως. συμφερόντως. ἐπέμεινε δὲ τῇ τροπῇ καὶ τῷ ἀστεϊσμῷ, ὡς πρὸς μάγειρον. χρηστὸν γὰρ ἔδεσμα λέγομεν τὸ εὖ ἠρτυμένον. Ἀλλ' οἶσθ' ὅπερ πέπονθας] ἀλλὰ γινώσκω ὃ πέπονθας. ἢ οἶδα τὸ ἐπᾶραν σε. ἀλλά μοι δοκῶ συνειδέναι τὴν αἰτίαν δι' ἣν εἰς τοσοῦτον θράσος προελήλυθας. Εὖ κατὰ ξένου.] οἱ γὰρ κατὰ ξένου λέγοντες, εὐκόλως λέγουσιν. ὡς κατὰ ξένων καὶ οὐ πολιτῶν δημηγοροῦντες. Τὴν νύκτα θρυλλῶν.] οἱ γὰρ μὴ ἔμπειροι τοῦ συνηγορεῖν, ἐὰν διδαχθῶσιν ἀπὸ πράγματος, μὴ ἔχοντες ἀπὸ

E φύσεως τὸ λέγειν ἀσκοῦνται καὶ ἰδίως διάγουσι καὶ γρηγοροῦσι διὰ τῆς νυκτὸς καὶ ὕδωρ πίνουσιν. Ὕδωρ τε πίνων.] τουτέστι ταλαιπωρῶν. καὶ μετὰ πολλῶν καμάτων καὶ πόνων συντάσσων τὸν λόγον. δεικνύναι δὲ διὰ τούτων πάντων βούλεται, τὴν ἀσθένειαν αὐτοῦ τῶν λόγων καὶ τὴν ἀπορίαν. ἄλλως. ἀγρυπνῶν καὶ φροντίζων καὶ τῆς νυκτὸς μελετῶν καὶ σκεπτόμενος τὴν δίκην. τουτέστι ταλαιπωρῶν καὶ μετὰ πολλοῦ καμάτου συντάσσων τὴν δίκην. Κἀπιδεικνύς.] τουτέστι καταδήλους τοὺς λανθάνοντας ξένους ποιῶν. Τοὺς φίλους τ' ἀνιῶν.] λυπῶν φίλους. πρὸς γὰρ φίλους καὶ γνωρίμους δημότας, ὅτι τοὺς μὲν φίλους ἱκανός ἐστι βλάπτειν

F καὶ κακοποιεῖν. πρὸς δὲ τοὺς ἀλλοτρίους καὶ ξένους ἐξασθενεῖ. Τῆς ἀνοίας.] τῆς μωρίας. τῆς ἠλιθιότητος. καὶ ἐξηπάτηκας φησὶ διότι κατὰ μετοίκου πολλῆς ξενίας ἀπηνέγκου γραφὴν καὶ ἐλπίζεις διὰ τοῦτο δύνασθαι καὶ δημηγορεῖν. μετοίκους δὲ ἐκάλουν, τοὺς ἀφ' ἑτέρας πόλεως μεταβαίνοντας εἰς ἑτέραν καὶ οἰκοῦντας. Κατεγλωττισμένην.] πλήρη γενομένην τῶν σῶν λόγων. ἀπατωμένην. ταραττομένην καταλελαλημένην τοῦ σοὶ μόνῳ προσέχειν τὸν νοῦν. σύνηθες δὲ τοῦτο λέγουσι, μὴ ἔχον λόγον καὶ παρὰ ἀρ-

G χαίοις καὶ νεωτέροις.

BISETVS. Γραπτέον δὲ ἴσως καταγεγλωττισμένην κατὰ τοὺς τῶν γραμματικῶν κανόνας, εἰ μὴ κατεγλωττισμένην κατὰ συγκοπὴν εὐφωνίας χάριν εἰρῆσθαι λέγοις.

Σχόλια. Ἀντέθηκας.] ἔστησας ἐξ ἐναντίας καὶ ἀντέταξω. Κασαλβάσω.] λοιδορήσω. ἔστι δὲ ὄνομα ἑταίρας. νῦν